11 11καὶ εἶπεν Βαλακ πρὸς Βαλααμ Τί πεποίηκάς μοι; εἰς κατάρασιν
12 ἐχθρῶν μου κέκληκά σε, καὶ ἰδοὺ εὐλόγηκας εὐλογίαν. 12καὶ εἶπεν
Βαλααμ πρὸς Βαλακ Οὐχὶ ὅσα ἐὰν ἐμβάλῃ ὁ θεὸς εἰς τὸ στόμα
μου, τοῦτο φυλάξω λαλῆσαι;
13 13Καὶ εἶπεν πρὸς αὐτὸν Βαλακ Δεῦρο ἔτι μετ᾽ ἐμοῦ εἰς τόπον
ἄλλον, ἐξ ὧν οὐκ ὄψῃ αὐτὸν ἐκεῖθεν, ἀλλ᾽ ἢ μέρος τι αὐτοῦ ὄψῃ,
14 πάντας δὲ οὐ μὴ ἴδῃς, καὶ κατάρασαί μοι αὐτὸν ἐκεῖθεν. 14καὶ
παρέλαβεν αὐτὸν εἰς ἀγροῦ σκοπιὰν ἐπὶ κορυφὴν λελαξευμένου
καὶ ᾠκοδόμησεν ἐκεῖ ἑπτὰ βωμοὺς καὶ ἀνεβίβασεν μόσχον καὶ κριὸν
15 ἐπὶ τὸν βωμόν. 15καὶ εἶπεν Βαλααμ πρὸς Βαλακ Παράστηθι ἐπὶ
16 τῆς θυσίας σου, ἐγὼ δὲ πορεύσομαι ἐπερωτῆσαι τὸν θεόν. 16καὶ
συνήντησεν ὁ θεὸς τῷ Βαλααμ καὶ ἐνέβαλεν ῥῆμα εἰς τὸ στόμα
17 αὐτοῦ καὶ εἶπεν Ἀποστράφητι πρὸς Βαλακ καὶ τάδε λαλήσεις. 17καὶ
ἀπεστράφη πρὸς αὐτόν, καὶ ὅδε ἐφειστήκει ἐπὶ τῆς ὁλοκαυτώσεως
αὐτοῦ, καὶ πάντες οἱ ἄρχοντες Μωαβ μετ᾽ αὐτοῦ. καὶ εἶπεν αὐτῷ Βα-
18 λακ Τί ἐλάλησεν κύριος; 18καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν

Ἀνάστηθι, Βαλακ, καὶ ἄκουε·
ἐνώτισαι μάρτυς, υἱὸς Σεπφωρ.

19 19οὐχ ὡς ἄνθρωπος ὁ θεὸς διαρτηθῆναι
οὐδὲ ὡς υἱὸς ἀνθρώπου ἀπειληθῆναι·
αὐτὸς εἴπας οὐχὶ ποιήσει;
λαλήσει, καὶ οὐχὶ ἐμμενεῖ;

20 20ἰδοὺ εὐλογεῖν παρείλημμαι·
εὐλογήσω καὶ οὐ μὴ ἀποστρέψω.

21 21οὐκ ἔσται μόχθος ἐν Ιακωβ,
οὐδὲ ὀφθήσεται πόνος ἐν Ισραηλ·
κύριος ὁ θεὸς αὐτοῦ μετ᾽ αὐτοῦ,
τὰ ἔνδοξα ἀρχόντων ἐν αὐτῷ.

22 22θεὸς ὁ ἐξαγαγὼν αὐτοὺς ἐξ Αἰγύπτου·
ὡς δόξα μονοκέρωτος αὐτῷ.

23 23οὐ γάρ ἐστιν οἰωνισμὸς ἐν Ιακωβ
οὐδὲ μαντεία ἐν Ισραηλ·
κατὰ καιρὸν ῥηθήσεται Ιακωβ καὶ τῷ Ισραηλ,
τί ἐπιτελέσει ὁ θεός.

24 24ἰδοὺ λαὸς ὡς σκύμνος ἀναστήσεται
καὶ ὡς λέων γαυριωθήσεται·
οὐ κοιμηθήσεται, ἕως φάγῃ θήραν,
καὶ αἷμα τραυματιῶν πίεται.

11 εποιησας A | ευλογησας A || 12 εαν > A || 13 ων] ου A || 17 και οδε (cf. 6)] ο δε B* || 21 τα] + δε A† || 22 θεος] pr. ο A | αυτους] -τον A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/310 UNIVERSITÄT LEIPZIG